# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΟΣΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΡΩΣΟΥ

**(ποιήμα Δανιήλ Μοναχού)**

**Ευλογήσαντος του Ιερέως.**

Ψαλμός ρμβ' (142)

Κύριε εισάκουσον της προσευχής μου, ενώτισαι την δέησιν μου εν τη αληθεία σου, εισάκουσον μου εν τη δικαιοσύνην σου. Και μη εισέλθεις εις κρίσιν μετά του δούλου σου, ότι ου δικαιωθήσεται ενώπιόν σου πας ζών. Ότι κατεδίωξεν ο εχθρός την ψυχήν μου, εταπείνωσεν εις γην την ζωήν μου. Εκάθισεν με εν σκοτεινοίς ως νεκρούς αιώνος, και ηκηδίασεν το πνεύμα μου, εν εμοί εταράχθη η καρδίαν μου. Εμνήσθην ημερών αρχαίων, εμελέτησα εν πάσι τοις έργοις σου, εν ποιήμασι των χειρών σου εμελέτησα. Διαπέτασα προς σε τας χείρας μου, η ψυχή μου ως γή άνυδρός σοι.Ταχύ εισάκουσον μου, Κύριε, εξέλιπε το πνεύμα μου. Μη αποστρέψεις το πρόσωπόν σου απ'εμού, και ομοιωθήσομαι τοις καταβαίνουσιν εις λάκον. Ακουστόν ποίησον μοι το πρωί το έλεός σου, ότι επί σοι ήλπισα. Γνωρισόν μοι κύριε, οδόν εν ή πορεύσομαι, ότι προς σε ήρα την ψυχήν μου. Εξελού με εκ των εχρών μου Κύριε, προς σε κατέφυγον, δίδαξόν με του ποιείν το θέλημά σου, ότι συ εί ο Θεός μου. Το Πνεύμα σου το αγαθόν οδηγήσει με εν γή ευθεία, ένεκεν του ονόματος σου, Κύριε, ζήσεις με. Εν τη

δικαιοσύνην σου εξάξεις εκ θλίψεως την ψυχήν μου, και εν τω ελέει σου εξολοθρεύσεις τους εχθρούς μου. Και απολείς πάντας τους θλίβοντας την ψυχήν μου, ότι εγώ δούλος σου ειμί.

**Είτα τα παρόντα Τροπάρια.**

**Θεός Κύριος και επέφανεν ημίν ˈ ευλογημένος ο ερχόμενος έν ονόματι Κυρίου.**
**(Τετράκις)**

Ήχος δ′ ( ο υψωθείς εν τω Σταυρώ)

Τω Ιωάννη, οι πιστοί νυν προσδράμωμεν, οι εν δεινοίς και συμφοραίς, και προσπέσωμεν, εν ευσεβεία κράζοντες, εκ βάθους ψυχής′ Όσιε, βοήθησον, εφ′ ημίν σοις ικέταις, πρόφθασον και λύτρωσαι της παρούσης ανάγκης, μη παραβλέψης δέησιν οικτράν των προσφευγόντων τη σλέπη σου, Άγιε.

Δόξα πατρί…. «Απολυτίκον»
Ήχος δ′ (Ταχύ προκατάλαβε)

Εκ γής ο καλέσας σε, προς ουρανίους μονάς, τηρεί και μετά θάνατον αδιαλώβητον, το σκήνος σου Όσιε. Συ γαρ εν τη Ασία, ως αιχμάλωτος ήχθης, ένθα και ωκειώθης, τω Χριστώ Ιωάννη. Αυτόν ούν ικέτευε σωθήναι τας ψυχάς ημών.

Και νύν «Θεοτοκίον»

Ου σιωπήσομεν, ποτέ, Θεοτόκε, τας δυναστείας Σου

λαλείν οι ανάξιοι, εί μη γαρ Συ προίστασο πρεσβέβουσα, τις ημάς ερρύσατο, εκ τοσούτων κινδύνων: Τις δε διεφύλαξεν εως νύν ελευθέρους: Ούκ αποστώμεν, Δέσποινα , εκ Σου, σους γαρ δούλους σώζεις αεί, εκ παντοίων δεινών.

Ψαλμός Ν' (50)

Ελέησον με, ο Θεός, κατά το μέγα Έλεός Σου, και κατά το πλήθος των οικτιρμών Σου, εξάλειψον το ανόμημά μου. Επί πλείον πλύνον με από της ανομίας μου και από της αμαρτίας μου καθάρισόν με. Ότι την ανομίαν μου εγώ γινώσκω, και η αμαρτία μου ενώπιόν μου έστι δια παντός. Σοι μόνω ήμαρτον και το πονηρόν ενώπιον Σου εποίησα, όπως αν δικαιωθείς εν τοις λόγοις Σου, και νικήσης εν τω κρίνεσθαί Σε.Ιδού γαρ εν ανομίαις συνελήφθην και εν αμαρτίαις εκίσσησέ με η μήτηρ μου. Ι δού γαρ αλήθειαν ηγάπησας, τα άδηλα κσι τα κρύφις της σοφίας Σου εδήλωσας μοι. Ραντιείς με υσσώπω και και καθαρισθήσομαι, πλυνείς με και υπέρ χιόνα λευκανθήσομαι. Ακουτιείς μοι αγαλλίασιν και ευφροσύνην, αγαλλιάσονται οστέα τεταπεινομένα. Απόστρεψον το πρόσωπόν Σου από των αμαρτιών μου και πάσας τας ανομίας μου εξάλειψον. Καρδίαν καθαράν κτίσον εν εμοί ο Θεός, και πνεύμα ευθές εγκαίνησον εν τοις εγκάτοις μου. Μη απορρίψης με από του προσώπου Σου, και το πνεύμα Σου το άγιον μη αντανέλης απ΄ εμού. Απόδος μοι την αγαλλίασιν του σωτηρίου Σου, και πνεύματι ηγεμονικώ στηριξόν με . Διδάξω ανόμους τας οδούς Σου, και ασεβείς επί Σε επιστρέψουσι. Ρύσαι με εξ αιμάτων ο Θεός, ο Θεός της σωτηρίας μου, αγαλλιάσεται η γλώσσα μου την

δικαιοσύνην Σου. Κύριε, τα χείλη μου ανοίξεις, και το στόμα μου αναγγελεί τηνα αινεσίν Σου. Ότι ει ηθέλησας θυσίαν, έδωκα αν, ολοκαυτώματα ούκ ευδοκήσεις. Θυσία τω Θεώ πνεύμα συντετριμμένον, καρδίαν συντετριμμένην και τεταπεινομένην ο Θεός ούκ εξουδενώσει. Αγάθυνον, Κύριε , εν τη ευδοκίαν Σου την Σιώ, και οικοδομηθήτω τα τείχη Ιερουσαλήμ. Τότε ευδοκήσεις θυσίαν δικαιοσύνης, αναφοράν και ολοκαυτώματα. Τότε ανοίσουσιν επί το θυσιαστήριόν Σου μόσχους.

Ωδή α′ (Ήχος πλ δ′ )
«Υγράν διοδεύσας….»

Άγιε του Θεού πρέσβευε υπέρ ημών

Δειναίς πιεζόμενος, συμφοραίς, προς σε επιρρίπτω, και το σώμα και την ψυχήν, δεόμενος σου, όσιε Πάτερ, εκ λυπηρών και δεινών με λυτρώσασθαι.

Άγιε του Θεού πρέσβευε υπέρ ημών

Σαρκός με του κλύδωνος προσβολή, μάκαρ Ιωάννη, εκταράττει διηνεκώς, ειρήνευσον πάτερ τη γαλήνη, ταις του Θεού συμπαθέσι πρεσβείαις σου.

Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι

Δαινόνων τα στίφη τα πονηρά, καταπολεμούσι, τον σον δούλον ανηλεώς, κατάλυσον τούτους τη δυνάμει,

τη του Σταυρού φιλανθρώποις πρεσβείαις σου.

Και νυν και αει, και εις τους αιώνας των αιώνων. Αμήν

Παρθένε, η πύλη η του Θεού, άνοιξόν μοι πύλην, ευσπλαχνίας και εκ πυλών, της θανατηφόρου αμαρτίας, τη μητρική παρρησία σου ρύσαι με.

Ωδή γ΄
«Ουρανίας αψίδος….»

Άγιε του Θεού πρέσβευε υπέρ ημών

Πονηρίας ανθρώπων οδυνηρών πάντοτε, απειλάς πνεόντων δυσφήμως, συ με διάσωσον, την αυτών θηριώδη μανίαν διασκεδάσας, ευσεβών το στήριγμα, πάτερ πενένδοξε.

Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι

Ευτρεπίσας πανσόφως το της ψυχής οίκημα, και διαφερόντως κοσμήσας, θεομακάριστε, χάριν του Πνεύματος εισδεδεγμένος ωράθης, και φωτός πληρέστατος, ως στύλος πύρινος.

Και νυν και αει, και εις τους αιώνας των αιώνων. Αμήν

Καθαράς παρθενίας αποπεσόν, Πάναγνε, όλως εμολύνθην τω πάθει, της ασωτίας μου, η τετοκυία Κριτήν, αμαρτανόντων ανθρώπων, πάσης κατακρίσεως, Παρθένε, σώσον με.

Διάσωσον από κινδύνων τους δούλους σου, Θεοφόρε, τους εν πίστει ειλικρινεί προς Σε καταφεύγοντας, ως έτοιμον βοηθόν εν ανάγκαις.

Επίβλεψον εν ευμενεία, πανύμνητε Θεοτόκε, επί την εμήν χαλεπήν του σώματος κάκωσιν και ίασαι τής ψυχής μου τό άλγος.

«Πρεσβείαν θερμήν»

Προστάτης θερμός και πύργος απροσμάχητος, εδείχθης, σοφέ, τοις πίστει εκβοώσι σοι, και σεπτώς κραυγάζουσι, Θεοφόρε Ιωάννη, πρόφθασον και εκ κινδύνων λύτρωσαι ημάς, αεί τη Τριάδι παριστάμενος.

Ωδή δ΄
«Εισακήκοα Κύριε….»

Άγιε του Θεού πρέσβευε υπέρ ημών

Ιαμάτων χαρίσματα, τω σεπτώ τεμένει σου οι προσφεύγοντες, αρυόμεθα ευφρόσυνα, και δοξάζομέν σε θαυματόβρυτε.

Άγιε του Θεού πρέσβευε υπέρ ημών

Καππαδόκων συστήματα, και των Προκοπέων πλήθη τα ευλαβή, αντιλήπτορα γινώσκουσι, και προστάτην πάντες ευφημούσι σε.

Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι

Διαβάς ανδρικότατα, νέφος της σαρκός σου δια σης της πράξεως, είσω γέγονας αοίδημε, του φωτός του θείου, ως επόθησας.

Και νυν και αει, και εις τους αιώνας των αιώνων. Αμήν

Οίκος γέγονας, άχραντε, του Θεού των όλων ως Αειπάρθενος, οίκον όθεν με ανάδειξον, αρετών ενθέων, θεία χάριτι.

Ωδή ε΄
«Φώτισον ημάς….»

Άγιε του Θεού πρέσβευε υπέρ ημών

Φρούρησον ημάς ταις πρεβείαις σου, μακάριε, και τω βραχίονί σου τω κραταιώ, πικρούς δαίμονας κατάβαλε, υπερθαύμαστε.

Άγιε του Θεού πρέσβευε υπέρ ημών

Δώρησαι ημίν, την υγείαν δεομένοις σου, και της ψυχής και του σώματος αει, και την μυρίπνοον ρώσιν, πάτερ πανόλβιε.

Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι

Ίασαι λαόν προσδραμόντα σοι, θαυμάσιε και λοιμικής νόσου και πυρετών, και αλγηδόνων παντοίων όλως διάσωσον.

Και νυν και αει, και εις τους αιώνας των αιώνων. Αμήν

Χαίρει επί σοι, Θεοτόκε, κτίσις άπασα, των Αγγέλων τα συστήματα, και των ανθρώπων γλώσσαι πάσαι δοξάζουσι.

Ωδή στ΄
«Την δέησιν, εκχεώ..»

Άγιε του Θεού πρέσβευε υπέρ ημών

Θαυμάτων σε θυσαυρόν επίσταμαι, και πηγήν των αγαθών, Ιωάννη, αρρωστιών, ιατρεύοντα πάθη, και ενεργείας δαιμόνων ελαύνοντα, και δέομαι σωθήναι νυν, εκ φθοράς με κακών, χαριτώνυμε.

Άγιε του Θεού πρέσβευε υπέρ ημών

Προστάτιν σε των πτωχών κηρύττομεν, και φρουρόν Καππαδοκίας απάσης, των πειρασμών διαλύοντα όχλον, και δυσσεβών επηρείας διώκοντα, και πάντας νυν τους ευσεβείς, των δεινών λυτρωθήναι δεόμεθα.

Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι

Λιμένα σε εν κινδύνοις έχομεν, και εν θλίψεσι προστάτην, παμμάκαρ, και παντελή συμφορών σωτηρίαν, και ποταμόν δωρεών ανεξάντλητον, και βρύσιν ευεργεσιών, και πηγήν ιαμάτων αέναναον.

Και νυν και αει, και εις τους αιώνας των αιώνων. Αμήν

Αγκάλαις σου και μαστοίς, ώ Δέσποινα, τω Υιώ σου μεσιτεύουσι σείξον, σοις τέκνοις τα εκείνου Παρθένε, σταυρόν και λόγχην και σπόγγον και κάλαμον, ούτως δ' ιλέωσων αυτόν, εφ' ημίν τοις πολλά αμαρτήμασι.

Διάσωσον από κινδύνων τους δούλους σου, Θεοφόρε, τους εν πίστει ειλικρινεί προς Σε καταφεύγοντας, ως έτοιμον βοηθόν εν ανάγκαις.

Άχραντε, η δια λόγου τον Λόγον ανερμηνεύτως, επ' εσχάτων των ημερών τεκούσα, δυσώπησον, ως έχουσα μητρικήν παρρησίαν.

**«Κοντάκιον»**

Προστασία των Χριστιανών ακαταίσχυντε, μεσιτεία πρός τόν ποιητήν αμετάθετε, μή παρίδης αμαρτωλών δεήσεων φωνάς, αλλά πρόφθασον ώς αγαθή, εις την βοήθειαν ημών των πιστώς κραυγαζόντων σοι, Τάχυνον εις πρεσβείαν και σπεύσον εις ικεσίαν, η προστατεύουσα αεί, Θεοτόκε, των τιμώντων σε.

«Προκείμενον»

Τίμιος εναντίον Κυρίου, ο θάνατος του Οσίου Αυτού.

«Στίχος» Μακάριος ανήρ ο φοβούμενος τον Κύριον……..»

**«Ευαγγέλιον»**

**Έκ του κατά Λουκάν**

Τω καιρώ εκείνω έστη ο Ιησούς επί τόπου πεδινού, και όχλος μαθητών αυτού και πλήθος πολύ του λαού από πάσης της Ιουδαίας και Ιερουσαλήμ και της παραλίου Τύρου και Σιδώνος' οί ήλθον ακούσαι αυτού και ιαθήναι από των νόσων αυτών, και οι οχλούμενοι υπό πταισμάτων ακαθάρτων, και εθεραπεύοντο. Και πας ο όχλος εζήτει άπτεσθαι αυτού, ότι δύναμις παρ' αυτού εξήρχετο και ιάτο πάντας. Και αυτός επάρας τους οφθαλμούς αυτού έλεγεν «Μακάριοι οι πτωχοί ότι υμετέρα εστίν η βασιλεία του Θεού. Μακάριοι οι πεινώντες νυν ότι χορτασθήσεσθαι. Μακάριοι οι κλαίοντες νυν ότι γελάσετε. Μακάριοι έστε όταν μισήσωσιν υμάς οι άνθρωποι, και όταν αφορίσωσιν υμάς και ονειδίσωσι και εκβάλωσι το όνομα υμών ως πονηρόν ένεκα του υιού του ανθρώπου. Χαίρετε εν εκείνη τη ημέρα και σκιρτήσατε, ιδού γαρ ο μισθός υμών πολύς εν τω ουρανώ».

Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι

Ταις του σου Οσίου πρεσβείες Ελεήμον, εξάληψον τα πλήθη των εμών εγκλημάτων.

Και νυν και αει, και εις τους αιώνας των αιώνων. Αμήν

Ταις της Θεοτόκου πρεσβείες Ελεήμον, εξάληψον τα

πλήθη των εμών εγκλημάτων

«Προσόμοιον»

«Στίχος» Ελέησον με, ο Θεός, κατά το μέγα Έλεός Σου, και κατά το πλήθος των οικτιρμών Σου, εξάλειψον το ανόμημά μου

Μη αποστερήσεις με, της σης θερμής προστασίας, Ιωάννη όσιε αλλά θραύσον δέομαι τη ισχύι σου, θράση τα ανίσχυρα, και τα τοξεύματα, των δαιμόνων τα ανέλπιστα, νόσων απάλλαξον, και πειρατηρίων και θλίψεων, και πάντας ελευθέρωσον, των σατανικών επιθέσεων, ίνα σε γεραίρω, και πόθω ανυμνώ και προσκυνώ, και μεγαλύνω σου, Άγιε, έργα τα θεάρεστα.

**Ο Ιερεύς : Σώσον ο Θεός τον λαόν Σου….**

Ωδή ζ'
«Οι εκ της Ιουδαίας»

Άγιε του Θεού πρέσβευε υπέρ ημών

Την ψυχήν θυμηδίας, και χαράς απάσης ανάδειξον έμπλεω, θεόφρον Ιωάννη, των σε θερμώς υμνούντων, και βοάν αεί δίδαξον, ο των Πατέρων ημών, Θεός ευλογητός εί.

Άγιε του Θεού πρέσβευε υπέρ ημών

Λαμπρυνθείς τω σω πάθει, σκοτισθέντα με

αμαρτήμασι λάμπρυνον, τον πόθω προσιόντα, τω σω σεπτώ λειψάνω, και κραυγάζειν αξίωσον, ο των Πατέρων ημών, Θεός ευλογητός εί.

Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι

Πειρασμών και κινδύνων, και ανάγκης και θλίψεως ελευθέρωσον, και βλάβης των δαιμόνων, τους ση σεπτή θαρρούντας, και εν πίστει κραυγάζοντας, ο των Πατέρων ημών, Θεός ευλογητός εί.

Και νυν και αει, και εις τους αιώνας των αιώνων. Αμήν

Των ανθρώπων ο πλάστης, εν γαστρί σου σκηνώσας, Θεοχαρίτωτε, απάντων προστασίαν, των ζάλαις κλονουμένων, και βοώντων αξίωσον, ο των Πατέρων ημών, Θεός ευλογητός εί.

Ωδή η΄
«Τον Βασιλέα…»

Αγιε του Θεού πρέσβευε υπέρ ημών

Τοις ποντουμένοις βιωτικαίς τρικυμίαις, χείρα δίδου, παμμάκαρ, υμνούσι, και υπερυψούσι Χριστόν εις τους αιώνας.

Άγιε του Θεού πρέσβευε υπέρ ημών

Των σων λειψάνων των ευαγών απτομένους, ευωδίας πλήρωσον θείας, Κύριον υμνούντες πιστώς εις τους αιώνας.

Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι

Τους δεομένους εκτενώς, Θεοφόρε, και την χάριν αιτούντας προσδέχου, και δοξολογούντας Θεόν εις τους αιώνας.

Και νυν και αει, και εις τους αιώνας των αιώνων. Αμήν

Των μολυσμάτων μου την καρδίαν, Παρθένε, μετανοίας καθάρισον νίπτροις, ίνα σε δοξάζω εις πάντας τους αιώνας.

Ωδή θ΄
«Κυρίως Θεοτόκον…»

Άγιε του Θεού πρέσβευε υπέρ ημών

Αστέρα, Ιωάννη, σε σημειοφόρον, ομολογούμεν ημίν φώς αυγάζοντα, οι ευσεβείς ορθοδόξως Χριστώ λατρεύοντες.

Άγιε του Θεού πρέσβευε υπέρ ημών

Εν σάλω, Θεοφόρε, τοις κυματουμένοις, πολλών κακών σοις ικέταις βοήθησον, διασκεδάζων τα βέλη του πολεμήτορος.

Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι

Την δέησίν μου δέξαι, του ταπεινωθέντος και χαλεπών, Θεοφόρε, κακώσεων, και αμαρτίας με λύτρωσαι.

Και νυν και αει, και εις τους αιώνας των αιώνων. Αμήν

Ελπίδα σωτηρίας, των εκπεπτωκότων, αι γενεαί, Θεοτόκε, γινώσκουσαι, δια παντός ομοφρόνως σε μακαρίζουσι.

**Το «Άξιον εστίν»**
**και τα ακόλουθα Μεγαλυνάρια**

Τους συναθροισθέντας τω σω ναώ, αοράτων πάντας, ορατών τε επιβουλής, ημάς τυραννούντων, δεόμεθα ρυσθήναι, υπό την σην αιγίδα, θερμώς προσφεύγοντας.

Τα πεπυρωμένα βέλη εχθρού, βροτοκτόνου, πάτερ, απομάκρυνον αφ᾽ημών, ταις προς την Τριάδα, θερμαίς σου ικεσίαις, όπως ρυσθέντες τούτων, σε μεγαλύνωμεν.

Τον αστέρα πάντες τον φαεινόν, τον εκ Προκοπίου, απαστράψαντα νοητώς, οσίων το κλέος, και Καππαδόκων δόξαν, τον θείον Ιωάννην, ύμνοις τιμήσωμεν.

Αίτησαι ειρήνην παρά Θεού, πνευμάτων γαλήνην, μέχρι τέλους υπομονήν, ψυχών σωτηρίαν, ημίν τοις σοις ικέταις, τοις ευφημούσι πόθω, τα σα θαυμάσια.

Πάσαι των Αγγέλων αι στρατιαί, Πρόδρομε Κυρίου,

Αποστόλων η Δωδεκάς,
οι Άγιοι Πάντες, μετά της Θεοτόκου, ποιήσατε πρεσβείαν, εις τω σωθήναι ημάς.

«Τρισάγιον»

«Απολυτίκον»

Ήχος δ′ (Ταχύ προκατάλαβε)

Εκ γής ο καλέσας σε, προς ουρανίους μονάς, τηρεί και μετά θάνατον αδιαλώβητον, το σκήνος σου Όσιε. Συ γαρ εν τη Ασία, ως αιχμάλωτος ήχθης, ένθα και ωκειώθης, τω Χριστώ Ιωάννη. Αυτόν ούν ικέτευε σωθήναι τας ψυχάς ημών.

«Απόλυσις και ψάλλομεν τα εξής»

Ήχος β′ (Ότε εκ του ξύλου)

Δεύτε προσκυνήσωμεν, πιστοί, και μετ′ ευλαβείας και πόθου κατασπαζόμενοι, λείψανον περίσεπτον και πανυπέρτιμον, Ιωάννου θεόφρονος, αγνίσωμεν χείλη, όμματα και μέτωπα, και ικετεύσωμεν, όπως και ημάς αξιώση, τέλους σωτηρίου και θείου, ταις αυτού προς Κύριον δεήσεσιν.

Άνω των Αγγέλων τοις χοροίς, και των αθλοφόρων τοις δήμοις, η ση αγία ψυχή, τέρπεται μακάριε, και συναγάλλεται, και οσίων τοις πλήθεσι, χοροίς προφητών τε, και ιεραρχών ομού τοις θείοις τάγμασι,

κάτω δε το πάνσεπτον σώμα, ύμνοις και ωδαίς επαξίως, υφ' ημών τιμώμενον δοξάζεται.

Δέσποινα πρόσδεξαι, τας δεήσεις των δούλων σου, και λύτρωσαι ημάς, από πάσης ανάγκης και θλίψεως.

Την πάσαν ελπίδα μου, εις σε ανατίθημι, Μήτερ του Θεού, φύλαξον με υπό την σκέπην σου.

Δι' ευχών των Αγίων Πατέρων ημών, Κύριε Ιησού Χριστέ ο Θεός, ελέησον και σώσον ημάς. Αμήν.